ὅτι ἐγὼ ταύτης εἰμὶ τῆς προαιρέσεως· εἰπὲ οὖν καὶ σὺ πρῶτος, εἰ προῄρησαι οὕτως διαλεχθῆναι, ἵνα εἰ μὲν πείσῃς, ἀκολουθήσω τοῖς σοῖς δόγμασιν, εἰ δὲ ἐλέγξω καὶ πείσω, σὺ ἀκολουθήσεις τοῖς ἐμοῖς. ὁ Γοργίας τοίνυν θέλων φυγεῖν τὴν συνουσίαν λέγει, ὅτι πολλοί εἰσιν οἱ θέλοντες ἐρωτῆσαί με καὶ δεῖ ἐκείνοις ἀποκριθῆναι ὡς ἐρῶσιν, ἵνα μὴ ἀναχωρήσωσιν· εἶτα ἐκείνων εἰπόντων, ὅτι οὐκ ὀκνοῦμεν, ἀλλὰ καὶ χαίρομεν ἐπὶ τῇ συνουσίᾳ καὶ τῷ ὄντι προσφόρως λεγόντων τὸ οὐδεὶς κάμνει σου ἀκροώμενος αἰδεσθεὶς συντίθεται ποιεῖσθαι τὴν ἐρώτησιν καὶ τὴν ἀπόκρισιν. ἐπεὶ οὖν, ὡς εἴρηται, ἔχει ταῦτα εἰπεῖν, πρόλεγει αὐτῷ ὁ Σωκράτης, ὅτι διὰ σαυτοῦ λέγε τὰ ἀρέσκοντά σοι, καὶ ἐγὼ δι' ἐμαυτοῦ διδάσκων ἐνταῦθα, ὅτι οὐ δεῖ προπηδᾶν τὸν διαλεγόμενον καὶ λέγειν, ὅτι οἶδα τί θέλεις εἰπεῖν καὶ οὐκ ἔστιν οὕτως· ἐὰν γὰρ εἴπῃ τοῦτο καὶ ἄρξηται ἀνατρέπειν, ἑαυτὸν ἀνατρέπει καὶ οὐ τὸν προσδιαλεγόμενον· λέγει γάρ, ὅτι οὐκ ἐγὼ τοῦτο εἶπον ἀλλὰ σύ.

### p. 453 e. ὁ τὰ ποῖα τῶν ζῴων γράφων.

13 εἰ μὲν γὰρ μόνος ἦν ὁ Ζεῦξις, δῆλον ὅτι αὐτὸς πάντα τὰ ζῷα ἔγραψεν, καὶ οὐκ ἦν πρόσφορον ἐρωτῆσαι, ὁποῖα ζῷα. νῦν δὲ ἐπειδὴ καὶ ἄλλοι ἦσαν, ἐρωτῶν τὸ ὁποῖα οὐχ ἁμαρτάνει· εἰπέ μοι οὖν καὶ σὺ περὶ ποῖα τὴν πειθὼ ποιῇ, ἐπειδή ἐστιν καὶ ἡ ἀριθμητικὴ περὶ πειθὼ καταγινομένη· πείθει γὰρ περὶ τῶν θεωρημάτων τοῦ τε ἀρτίου καὶ τοῦ περιττοῦ. δεῖ οὖν εἰδέναι, ὅτι ἡ μὲν τῆς ῥητορικῆς πειθὼ πιστευτική ἐστιν, ἡ δὲ τῆς ἀριθμητικῆς καὶ τῶν ἐπιστημῶν τούτων διδασκαλική.

### p. 454 b. ἀπόκριναι δή, ὦ Γοργία.

14 ἐπειδὴ καί σοι, ὦ Γοργία, δοκεῖ, ὅτι καὶ ἄλλων τεχνῶν ἐστιν ἡ πειθώ, θέλησον εἰπεῖν, ποίας πειθοὺς ἡ ῥητορικὴ τυγχάνει οὖσα δημιουργός.

---

2 προῄρησαι scripsi προήρησαι M

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408547804/48 UNIVERSITÄT LEIPZIG